Σχόλια. Διαλελημμένον.] μέσον εἰλημμένον.

BISETVS. Δικωπεῖν] διαπλάττεται τοῦτο τὸ ῥῆμα ἐκ τοῦ δίς, καὶ κωπεῖν ἀρχῆς οὐ, ἀντὶ τοῦ κωπηλατεῖν. ὁ δὲ νοῦς ἐστί. πῶς οὖν ἀμφοτέρας κατελαύνειν, διασαλεύειν, καὶ ὑποκινεῖν ἅμα δυνήσομαι;

Σχόλια. Βολβῶν χύτραν.] ἐπιτήδειοι πρὸς συνουσίαν οἱ βολβοί. Φρύνην.] φρύνη ἀρχαία γυνή. οἱ δὲ ῥυτίς. λήκυθος δὲ ᾠδική.

BISETVS. Φρύνην ἔχουσαν λήκυθον] φρύνη παλαιὰ ἑταίρα. λήκυθος δὲ μυροθήκη, ἣν οἱ Ἀττικοὶ ἀλάβαστρον καλοῦσι. μύρων δὲ παρὰ παλαιοῖς πολλή, καὶ συνεχὴς χρῆσις ἦν. καὶ μὴν οὐ μόνον τρίχας, καὶ τοὺς πλο-

A κάμους, ἀλλὰ καὶ ὅλον τὸ πρόσωπον καλλωπισμοῦ, καὶ εὐοσμίας χάριν ἀλείφειν εἰώθεσαν. ὅθεν λήκυθον πρὸς ταῖς γνάθοις ἔχειν, μετωνυμικῶς εἴρηται ἀντὶ τοῦ τὰς γνάθους ἀδίαν, καὶ κατακόρως μύροις ἠλειμμένας ἔχειν. Σουΐδας δὲ τούτων μεμνημένος λέγει, λήκυθον ἔχουσα, τουτέστι ᾠδικήν τὸ πρόσωπον. Ὅστις τοιούτοις] οὗτοι οἱ δύο στίχοι οἱ πρὸ τοῦ κακῶς ἔχοντες, οὕτω ἐπανορθωντέον,

Ὅστις τοιούτοις θηρίοις συνείξομαι

B Ἄκων. ὅμως δ' ἐάν τι πολλάκις πάθω. καὶ τὰ ἑξῆς.

Ὅμως δ' ἐάν τι πολλάκις πάθω,
Ὑπὸ ταῖνδε ταῖν Κασαλβάδοιν δεῦρ' εἰσπλέων
Θάψαιμ' ἐν αὐτῷ τῷ στόματι τῆς ἐσβολῆς.
Καὶ τὴν ἄνωθεν ἐπιπολῆς τοῦ σήματος,
Ζῶσαν καταπιττώσαντας. εἶτα τὼ πόδε
Μολυβδοχοήσαντας κύκλῳ περὶ τὰ σφυρά,
Ἄνω 'πιθεῖναι πρόφασιν ἀντὶ ληκύθου.
Θε. Ὦ μακάριος μὲν δῆμος, εὐδαίμων δ' ἐγώ
Αὐτή τέ μοι δέσποινα μακαριωτάτη.
Ὑμεῖς δ' ὅσαι παρέστατ' ἐπὶ ταῖς θύραις,
Οἵ γείτονές τε πάντες οἵ τε δημόται
Ἐγώ τε πρὸς τούτοισιν ἡ διάκονος.
Ἥτις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασιν
Ἀγαθοῖσιν ὦ Ζεῦ. πολὺ δ' ὑπερπέπαικεν αὖ
Τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια.
Ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον.
Τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτατο.
Ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ' ὦ θεοί.
Κέρασον ἄκρατον. εὐφρανεῖ τὴν νύχθ' ὅλην
Ἐκλεγομένας ὅτι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.
Ἀλλ' ὦ γυναῖκες φράσατέ μοι τὸν δεσπότην
Τὸν ἄνδρ' ὅπου 'στὶ τῆς ἐμῆς κεκτημένης.
Χο. Αὐτοῦ μένουσ' ἡμῖν γὰρ ἐξευρεῖν δοκεῖς.
Θε. Μάλισθ', ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
Ὦ δέσποτ' ὦ μακάριε καὶ τρισόλβιε.
Δεσ. Ἐγώ. Θε. σὺ μέντοι νὴ Δί' ὥς γ' οὐδεὶς ἀνήρ.
Τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος
Ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
Ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος.
Χο. Εὐδαιμονικόν γ' ἄνθρωπον εἴρηκας σαφῶς.
Θε. Ποῖ ποῖ βαδίζεις; Θε. ἐπὶ τὸ δεῖπνον ἔρχομαι.

*Tamen autem si quid sæpe passus fuero,*
*Sub his meretricibus huc innauigans,*
*Sepeliam in ipso ore ingressionis.*
ANVS. *Et horum desuper in superficie sepulchri*
*Viuentem pice inientes, postea pedes*
C *Plumbo fundentes circumcirca talos,*
*Supra imponere excusationem pro lecytho.*
SERVA. *O beate quidē popule, fortunata autem & ego,*
*Hæcq; mihi domina beatissima.*
*Vos autem quæcunque adestis in ianuis,*
*Vicini omnes hi ciuium,*
*Ego præterea serua,*
*Quæ uncta sum capite unguentis*
D *Bonis, ô Iupiter. multum autem superabundant*
*His omnibus thasiæ amphorulæ:*
*In capite enim manent multo tempore.*
*Hæ autem aliæ deflorentes volauerunt,*
*Quare sunt quàm iam optimæ multo certè ô Dei*
*Misce merum, lætificabit noctem totam*
*Electas, quæ maximè odorem habet.*
*Sed ô mulieres, dicite mihi dominum*
*Virum, vbi est meæ dominæ.*
E CHO. *Illic manens, nobis enim inuenire appares.*
SERV. *Maximè, hic enim ad cœnam venit.*
*O domine ô beate, & ter beate.*
DOMIN. *Ego?* SER. *tu quidem per Iouem vt nullus vir.*
*Quis enim factus est magis beatior,*
*Qui ciuibus plus quàm tribus millibus*
*Existentibus, multitudine non cœnasti solus?*
F CHO. *Fortunatum hominem dixisti apertè.*
SERV. *Quò quò vadis?* DO. *ad cœnam venio.*

Σχόλια. Κασαλβάδοιν.] Κασαλβὰς ἡ πόρνη ἀφ' οὗ ποιεῖ. αἱ γὰρ πόρναι καλοῦσι μὲν ἐκ ἔχουσαι τοὺς ἐραστάς. σβοῦσι δὲ τοὺς ὄντας ἵνα ἄλλους λάβωσι. παρὰ τὸ καλεῖν οὖν καὶ τὸ σβεῖν.

BISETVS. Θάψαιμ' ἐν αὐτῷ] Ἀττικὸν σχῆμα τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ ταφείην, ἢ μέσου, θαψαίμην. Ζῶσαν καταπιττώσαντας] ἐστί, καὶ οἱ δύο ἑξῆς στίχοι διὰ τὴν ἀσυνταξίαν, καὶ τὸ τῆς ἐννοίας μεγίστην ἔχουσιν ἀσάφειαν Οἰδίποδός τινος δεομένην. Ὦ μακάριος] θεράπαινά τις νῦν εἰσάγεται μακαρίζουσα τοὺς καινῇ πολιτείᾳ χρωμένους. Ὑπερπέπαικεν] ὑπερπαίειν, ὑπερβαίνειν, πλεονάζειν. Σ. Ἀπανθήσαντα] κακῶς πρότερον ἀπανθήσασα ἦν γεγραμμένον. καὶ πάντα πέπλατο, ἀντὶ τοῦ πάντ' ἀπέπλατο, ὡς παρὰ τῷ Σ. καλῶς γράφεται. τὰ δὲ ἀπανθήσαντα, ἀντὶ τοῦ ξηρανθέντα. ὡς ἐπὶ τῶν ἀνθῶν εἶπεν. διαφέρει δὲ τὸ ἀπανθεῖν, καὶ τὸ ἀπανθίζειν. ἀπανθεῖν γὰρ, τὸ τὰ ἄνθη ἀποβάλλειν. ἀπανθίζειν δὲ κατὰ τὸν Σ. τὸ τὰ ἄνθη συλλέγειν. Φράσατέ μοι τὸν δεσπότην]
G καινοπρεπέστερον εἴρηται ἀντὶ φράσατέ μοι ὅπου ἐστὶν ὁ δεσπότης, καὶ ἀνὴρ τῆς ἐμῆς κεκτημένης, ἤγουν τῆς ἐμῆς δεσποίνης. Τῆς ἐμῆς κεκτημένης] τουτέστι τὴν δεσπότην ἐμοῦ, ἢ ἑαυτῷ ἐκτήσατο. Ἡμῖν γάρ] τὸ γὰρ νῦν ἀττικῶς παρέλκει.

Σχόλια. Οὐ δεδείπνηκας μόνος] παρ' ὑπόνοιαν. ἔδει γὰρ εἰπεῖν ὅτι μόνος εὐτυχεῖς τῶν πολιτῶν.